# ΠΕΡΙ ΚΟΜΜΩΣΕΩΣ ΤΩΝ ΒΥΖΑΝΤΙΝΩΝ

Ὁ κ. Φαίδων Κουκουλὲς ἐν εἰδικῇ σοβαρᾷ μελέτῃ [1] διεζωγράφησε τὰ πρόσωπα τῶν καλλωπιζομένων Βυζαντινῶν γυναικῶν ἀναπαραστήσας ζωηρὰν τὴν εἰκόνα τῶν ἠχρειωμένων καὶ ἠλλοιωμένων προσώπων διὰ τῆς βαφῆς Βυζαντινῶν κυριῶν, ἐπὶ τῇ βάσει τῶν περισωθέντων κειμένων καὶ μνημείων. Εἰς τὴν καλλιτεχνικὴν ταύτην εἰκόνα, ἐν ᾗ βλέπομεν τὰ χείλη καὶ τὰς παρειὰς ἐρυθράς, καὶ τὰς ὀφρῦς μεμελανωμένας, τὰ ἄλλα μέρη τοῦ προσώπου, οἱ κρόταφοι καὶ ὁ πώγων καὶ αἱ ἐπιβλεφαρίδες μένουσιν ἀχρωμάτιστα. Τὸ κόκκινον χρῶμα αἱ Βυζαντιναὶ κυρίαι ἐπέθετον ὄχι μόνον εἰς τὰ χείλη καὶ τὰς παρειάς, ἀλλὰ καὶ εἰς τὸ ἄκρον τοῦ πώγωνος, τὸ δὲ μέλαν εἰς τὰς ὀφρῦς, τὰς ἐπιβλεφαρίδας καὶ εἰς τοὺς κροτάφους, πράγματα καὶ ἐπινοήματα ἄγνωστα καὶ εἰς τὰ τελειότερα κομμωτήρια τῶν Παρισίων. Ἡ τοιαύτη τῶν προσώπων διακόσμησις ἐν κοινῇ χρήσει κατὰ τὸν ΙΕ΄ αἰῶνα ὑπάρχουσα, ἔχει βεβαίως εἰς πολὺ βαθυτέραν ἐποχὴν τὴν ἕξιν, οὐδὲ δύναται νὰ θεωρηθῇ ὡς νεωτερισμὸς ἡ βαφὴ τοῦ πώγωνος καὶ τῶν κροτάφων καὶ ἐπιβλεφαρίδων, ὡς περιγράφει αὐτὴν καὶ ψέγει ὁ Νομοφύλαξ τῆς Θεσσαλονίκης Ἰωάννης ὁ Εὐγενικός. Οὗτος ἐν λόγῳ τινὶ αὐτοῦ πρὸς τὰς καλλωπιζομένας γυναῖκας, ἐκφωνηθέντι πάντως ἐν Θεσσαλονίκῃ, περιγράφει λεπτομερῶς τὴν ὅλην δραματουργίαν, ὡς ἀποκαλεῖ αὐτήν, τὴν γινομένην ἐν τῷ προσώπῳ τῆς γυναικός, καὶ εἰς τὸ ἀχρειούμενον διὰ τῆς βαφῆς πρόσωπον προσθέτει τὸ μέλαν εἰς τοὺς κροτάφους καὶ τὸ κόκκινον εἰς τὸ ἄκρον τοῦ πώγωνος. Τὰ εἰς ἐπαρχιακὴν δὲ πόλιν τελούμενα ἀντεγράφοντο, ὡς εἰκός, ἐκ τῆς πρωτευούσης, ἥτις ἐκανόνιζε κατὰ διαφόρους ἐποχὰς τὰ τῆς διακοσμήσεως τοῦ προσώπου.

Ὁ λόγος οὗτος τοῦ Εὐγενικοῦ, ὁ διασωθεὶς ἐν αὐτογράφῳ αὐτοῦ Κώδικι [2] ἀποκειμένῳ ἐν τῇ Ἐθνικῇ τῶν Παρισίων Βιβλιοθήκῃ [3] εἶναι συμβολὴ πολύτιμος εἰς τὰ περὶ κομμώσεως τῶν Βυζαντινῶν καὶ συμπληροῖ τὴν λαμπρὰν εἰκόνα τὴν ὁποίαν ἡ ἀκατάβλητος φιλοπονία τοῦ κ. Κουκουλὲ ἀνεστήλωσεν.

---

[1] Ἴδ. Ἐπετηρίδα Ἑταιρείας Βυζαντινῶν Σπουδῶν ἔτ. Ζ΄ σ. 3-37.

[2] Ὁ Κῶδιξ ἐγράφη τῷ 1429 καὶ περιέχει διάφορα αὐτοῦ ἔργα ὡς καὶ τοῦ αὐταδέλφου του Μάρκου τοῦ Εὐγενικοῦ.

[3] Κῶδ. 2075 φ. 411α.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 17:54:29 EEST - 18.216.127.212

## *Τοῦ Νομοφύλακος [Ἰωάννου τοῦ Εὐγενικοῦ] πρὸς τὰς καλλωπιζομένας γυναῖκας*

Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε, φησὶν ὁ Κύριος· καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει, οὐ κοπιᾷ οὐδὲ νήθει»[1]. Εἰ οὖν ἐπὶ τῶν ἀναγκαίων ἐπιβλημάτων οὐκ ἐᾷ ἡμᾶς μεριμνᾶν ὁ Κύριος, ὡς οὐδ' ἐπὶ τῆς τροφῆς καὶ τῶν ἄλλων τῶν κατὰ τὸν βίον, πολλῷ μᾶλλον ἐπὶ τῶν περιττῶν καὶ πολυτιμήτων ἐνδυμάτων τῶν εὐανθῶν καὶ κομψῶν καὶ μαλακῶν, χρυσοπάστων τινῶν καὶ λαμπρῶν καὶ λιθοκολλήτων. Ἔστω δ' οὖν ὅμως ἐπὶ τούτῳ τοῖς νέοις συγγνώμη καὶ ταῖς εὐγενέσι καὶ πλουσίαις τῶν γυναικῶν.

Τί δ' ἂν εἴποι τις περὶ τῶν ἀκαίρως καὶ ματαίως καλλωπιζομένων, μᾶλλον δὲ οὐ καλλωπιζομένων, ἀλλὰ καταισχυνουσῶν ἑαυτάς; τήν τε γὰρ φύσιν παραφθείρουσι καὶ τὸν ταύτης δημιουργὸν καὶ ποιητὴν καὶ πλάστην ἑαυτῶν ἀθετοῦσι καί, ὅσον τὸ ἐπ' αὐτάς, ἐν οἷς ποιοῦσι μέμφονται καὶ κακίζουσι καὶ τὴν ἄρρητον ἐκείνου σοφίαν — ὢ τῆς μανίας! — φιλονεικοῦσιν ἐπανορθοῦν, λευκώματά τινα ἐπινοοῦσαι τοῖς προσώποις αὐτῶν καὶ περιτρίμματα καὶ ἐρυθρώματα καὶ ταῖς ὀφρύσι καὶ τοῖς κροτάφοις μελανώματα, ἔργα καταγέλαστα ὡς ἀληθῶς καὶ πάσης μανίας καὶ παραφροσύνης ἐπέκεινα.

Ἔπεστί μοι θρηνεῖν καὶ δακρύειν ὅταν τὴν τοσαύτην ἀσχημοσύνην ἐνθυμηθῶ· ὅταν βλέπω καινοτομουμένην τὴν φύσιν καὶ παρηλλαγμένην τὴν ὄψιν καὶ τὸ κατ' εἰκόνα Θεοῦ κτισθὲν πρόσωπον ἠχρειωμένον ταῖς παρὰ φύσιν ὑπαλλαγαῖς καὶ ἠλλοιωμένον τοῖς ἐπεισάκτοις καὶ ξένοις χρώμασι. Τίς εἶδε, τίς ἤκουσε Θεοῦ καὶ θείων ἔργων ἡμᾶς ἐπανορθωτὰς τολμᾶν γίνεσθαι; ᾐσχύνθητε ἀκούουσαι τὴν ἄλογον καινοτομίαν, τὴν ἄκαιρον φιλοτιμίαν, τὴν ματαίαν φιλοπραγμοσύνην ὑμῶν, ἠρυθριάσατε μανθάνουσαι τὴν τοιαύτην ἀσχημοσύνην ᾐδέσθητε τοῖς τοῦ συνειδότος κέντροις βαλλόμεναι καὶ ταῖς μάστιξι τοῦ ἔνδον κριτηρίου πληττόμεναι. Εἰ οὖν ἐντρέπει καὶ πλήττει τὰς καρδίας ὑμῶν ἡ τούτων διήγησις, εἰ τὸ βλαβερὸν καὶ θεομισὲς πρόδηλον, εἰ τὸ αἰσχρὸν αὐτόθεν ὑποβάλλει ἡ τῶν τοιούτων ὑπόμνησις, διατί τῶν ἔργων ἀνέχεσθε, || διατί ταῦτα ποιεῖν ἐπιχειρεῖτε καὶ ποιοῦσαι οὐ καταδύεσθαι φ. 41r
οὐδὲ συγκρύπτεσθαι σπουδάζετε, οὐδ' ὡς εἰκὸς καὶ κατορύττεσθαι, ἀλλὰ πομπεύεσθαι καὶ πομπεύειν καὶ δημοσιεύειν τὸ δεινὸν καὶ ταῖς ἁπάντων ὄψεσι φαίνεσθαι; Καὶ γινομένου μὲν τοῦ κακοῦ καὶ τελουμένων τῶν τοιούτων παραπλασμάτων λανθάνειν πάσαις μηχαναῖς σπεύδετε τὰς θύρας ἀποκλείουσαι τοῦ κοιτῶνος καὶ τοῖς ἐνδοτέροις τῶν θαλάμων παρεισδυόμεναι, καὶ τὰς ὀπὰς περιεργαζόμεναι καὶ τὴν στέγην αὐτὴν ὑφορώμεναι, καὶ τῶν θεραπαινίδων τὰς πιστοτάτας θυρωροὺς ἐφιστᾶσαι, μή πού τις λάθῃ παρεισελθὼν

---

[1] *Ματθ.* ϛ, 28. *Λουκ.* ιβ', 27.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 17:54:29 EEST - 18.216.127.212

καὶ τῶν σφόδρα οἰκειοτάτων καὶ τὴν δεινὴν ἐκείνην δραματουργίαν θεάσηται. Τελεσθέντος δὲ τοῦ πτώματος καὶ τῆς συμφορᾶς ἁπάσης ἐξεργασθείσης πανηγυρίζειν ἀνέχεσθε καὶ δημοσίᾳ ἑαυτὰς καὶ τὴν σατανικὴν ἐκείνην μεταποίησιν ἐμφαίνειν καὶ θεατρίζειν τὸ αἶσχος τῆς φύσεως. Καὶ τότε μὲν οὕτω δημιουργούμεναι καὶ πλαττόμεναι καὶ πορνικῶς ἑαυτὰς περιχρίουσαι συγκαλύπτεσθε, καὶ οὐδ᾽ ἂν ἀδελφῷ οὐδὲ πατρί, οὐδ᾽ αὐτοῖς ἀνδράσιν ὑμῶν ῥαδίως θαρρήσετε, μετὰ δὲ τὴν καλὴν ἐργασίαν πᾶσιν ἀνθρώποις ἑτοίμως πιστεύετε θέαμα πᾶσι προκείμεναι φύσει μᾶλλον μισούμενον ἢ ἀγαπώμενον, φύσει βδελυττόμενον ἢ ποθούμενον, φύσει κακιζόμενον ἢ ἐπαινούμενον, μᾶλλον ὑβριζόμενον ἢ θαυμαζόμενον, εἰρωνευόμενον οὐ τιμώμενον, ἐλεούμενον, τοῖς νοῦν ἔχουσιν οὐκ ἀποδοχῆς ἀξιούμενον, πρᾶγμα καὶ θέαμα, ἤ, μᾶλλον εἰπεῖν, πλάσμα καὶ τέχνασμα τοῦ πονηροῦ καὶ τῆς ἀρχαίας συμβουλῆς τοῦ ὀλοθρευτοῦ δράκοντος ἄξιον.

Ὥσπερ γὰρ οἱ μοχθηρότατοι τῶν ἐν πόλεσι τὸ κοινὸν πᾶσι καὶ σύνηθες νόμισμα καὶ τὴν βασιλικὴν εἰκόνα διαφθείροντες κιβδηλεύουσι καὶ παραχαράττουσι καὶ τοῖς νόμοις ὡς κοινοὶ φθορεῖς ταῖς ἐσχάταις τιμωρίαις ὑπάγονται, τὸν αὐτὸν τρόπον καὶ οἱ τὴν φύσιν αὐτὴν καὶ τὸ τοῦ Θεοῦ πλάσμα μεταποιεῖν ἐπιχειροῦντες καὶ τολμῶντες ἐπὶ μηδεμιᾷ πάντως ἀνάγκῃ κοσμεῖν, ὡς ἐχθροὶ τοῦ Θεοῦ τῇ αἰωνίᾳ κολάσει παραπεμφθήσονται, μηδενὸς οἴκτου, μηδεμιᾶς φειδοῦς καὶ συμπαθείας ἀξιούμενοι, κἂν τε γυναῖκες, κἂν τε ἄνδρες ὦσι.

Καὶ γὰρ καὶ εἰς τούτων τινὰς ἤδη τὰ τῆς κακίας — ὢ τῆς αἰσχύνης!— χωρεῖ, κἄν τε νέοι, κἄν τε γέροντες, κἄν τε ἰδιῶται, κἄν τε σοφοί, εἴτε πλούσιοι, εἴτε πένητες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι πάντες ἀναμφιβόλως ταῖς ἐσχάταις τιμωρίαις ὑποβληθήσονται καὶ ἀσύγγνωστα κατακριθήσονται, τὴν φύσιν αὐτὴν καὶ τὴν τοῦ Θεοῦ δημιουργίαν παραχαράττοντες. Οὐχ οὕτω τὸν ἁμαρτάνοντα ὡς τὸν ἀναισχυντοῦντα κολάζειν οἶδε Θεός, φησὶν ἡ γραφή. Ποία δὲ ταύτης ἀναισχυντία μείζων γένοιτ᾽ ἄν; αἰσχύνεται ὁ βλέπων σε ἔξωθεν
φ. 412α καὶ σὺ οὐκ αἰσχύνῃ; εὐλαβεῖται ἀτενίζειν εἰς || τοιοῦτόν σου πρόσωπον, καὶ σὺ οὐκ εὐλαβῇ; ἐντρέπεται πᾶς τις πρὸς τοσαύτην ἀσχημοσύνην καὶ σὺ οὐκ ἐντρέπῃ;

Ὁ μεθύων μανίαν αὐθαίρετον ἐντίθησιν ἑαυτῷ καὶ σὺ μεθύοντος ὄψιν περιποιῇ σεαυτῇ, ἀντὶ τοῦ μετρίου καὶ φυσικοῦ τῆς αἰδοῦς κόσμου φοινικοπλαστουργοῦσα τὰς παρειὰς καὶ χείλη καὶ πώγωνος ἄκρον. Ὁ πάθεσι καὶ αἰσχροῖς ἐγκλήμασιν ἁλοὺς μελαντηρίᾳ τῷ προσώπῳ περιχεθεὶς τῇ ἀγορᾷ περιάγεται θεατριζόμενος, καὶ σὺ παρὰ μηδενὸς δικαστηρίου κατακριθεῖσα μελαντηρίαν τῶν κροτάφων καὶ τῶν ὀφρύων, ἤδη δὲ καὶ τῶν ἐπιβλεφαρίδων τριχῶν καταχέουσα περιέρχῃ τὰς ἱερὰς πανηγύρεις καὶ τὴν ἐκκλησίαν τοῦ Θεοῦ πάντων τὰς γλώσσας ἀνοίγουσα, πᾶσι πρόσκομμα προκειμένη καὶ σκάνδαλον καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ ἀντὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 17:54:29 EEST - 18.216.127.212

δόξης Θεοῦ καὶ βοηθείας τῷ ἀνδρὶ καὶ καλοῦ παντὸς ἀφορμῆς πρὸς ὃ ἐκτίσθης παρὰ Θεοῦ, ἁπάσης μᾶλλον ἀθλιότητος καὶ συμφορᾶς αἰτία καθέστηκας, λίχνοις καὶ περιέργοις ὀφθαλμοῖς παθῶν δημιουργός, πορνείας συνεργός, αἰσχρότητος αὐτουργός, ἀναιδείας διδάσκαλος, καταφρονήσεως μήτηρ, κενοδοξίας πηγή, ὑπερηφανίας θύρα, ἀπογνώσεως πρόξενος. Πῶς εἰς μνήμην ἔλθης θανάτου ποτέ; πῶς εἰς κατάνυξιν καὶ μετάνοιαν τῶν ἁμαρτιῶν σου; ποῦ τὰ . . . . [1] χριστιανοῖς ἐν σοί; πῶς οὕτως ἔχουσα προσεύξῃ τῷ Θεῷ καὶ πατρί; Οὐκ οἴδατε τὴν εὐμάρανσιν τῆς ἀνθρωπίνης σαρκός; οὐκ οἴδατε τὸ ἀσθενὲς καὶ οὐτιδανὸν τῆς ἡμετέρας φύσεως; οὐ γνώσῃ ποῦ τὸ μὴ μεταπίπτον κάλλος καὶ τίς ἡ ἀληθινὴ φαιδρότης καὶ ὡραιότης καὶ ἀγαλλίασις; τίς ζωγράφος πλέον ἢ πέφυκε λευκᾶναι τὸ κρίνον διενοήθη; τίς ἐρυθραίνει τὸ ῥόδον ἤ τι τῶν ἀνθέων κοκκινοβαφέσι χρώμασιν ἀλλ᾽ οὐχ ὡς ἡ φύσις ἐκόσμησε καταλιμπάνει;

Αἰσχύνθητι καὶ αὐτή, ὦ τοῦ Θεοῦ ἄνθρωπε, τὸν σὸν πλαστουργὸν καὶ μὴ φιλονείκει πέραν τοῦ δέοντος· μὴ τὰ ἀδύνατα ἐπιχείρει· μὴ τῶν ἀμηχάνων ἐπιθύμει· ἤκουσας τοῦ θείου Δαυὶδ «ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, πρὸς Θεὸν φάσκοντος, ἐκραταιώθη οὐ μὴ δύνωμαι πρὸς αὐτήν». Μὴ τὴν σὴν γνῶσιν προσεξευρεῖν τι καὶ πλέον εἰς λόγον κάλλους τῆς θείας μᾶλλον ὑπολογίζου· πέρα μανίας ἁπάσης φιλοτιμεῖσθαι τοῖς θείοις ἔργον ἡμᾶς προσεπιδαψιλεύεσθαι· μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι ἠκούσαμεν τί με οὕτως ἐποίησας; εἰ μὲν λευκὴ καὶ ὑπέρυθρος καὶ ὡραία καὶ ἐν πᾶσι καλή, λέγε κατὰ σαυτὴν καὶ λόγοις καὶ ἔργοις δόξα τῷ Θεῷ, τῷ ἐκ πηλοῦ τοιοῦτον κάλλος δημιουργήσαντι καὶ μὴ ἀγνωμόνει περὶ τὸν σοφὸν τεχνίτην καὶ θαυμαστὸν εὐεργέτην· εἰ δ᾽ αἰσχρὰ καὶ δυσειδὴς καὶ ὕφαιμος καὶ ὑπομελανίζουσα ἢ ἄλλως ὠχρὰ καὶ συντετηκυῖα καὶ ἄχαρις, καὶ οὕτω Θεῷ μᾶλλον εὐχαρίστει καὶ τὸ κάλλος ἅπαν ἐπὶ τὴν ψυχὴν καὶ τὸν ἐντὸς ἄνθρωπον ἐπιτίθει καὶ οὕτως ἤδη τὸν οἰκεῖον καὶ προσφυῆ κόσμον περιτιθέναι καὶ ἀγάλλειν σεαυτὴν σπούδαζε. Καὶ γὰρ ὡς ἀληθῶς τοῦτο δὴ τὸ δεινότερον, ὅτι καὶ τὴν ἁμαρτίαν ἀπηρτισμένην ἔχεις χωροῦσα κατὰ Θεοῦ καὶ κατὰ τῆς φύσεως καὶ τοὐναντίον ἅπαν ἢ οὐ βούλει ποιεῖς ὡς καὶ τοῖς ἔξω δοκεῖ σοφοῖς [2]. || Εἰ μὲν αἰσχρὰ ἢ ἄγαν φ. 412
ὡραία, γίνωσκε ὅτι καλλωπιζομένη μᾶλλον ἐλέγχεις ἢ πλέον ἐλέγχει· εἰ δὲ μέση καὶ μὴν ἀκούεις πᾶν μέτρον ἄριστον καὶ ἡ μεσότης καὶ τὸ μέτριον ἐπὶ πᾶσιν ἐπαινετόν· ὥστε πανταχόθεν σοι τὰ τῆς ἀπολογίας ἀφήρηται καὶ οὐδεμία πρόφασις περιλείπεται, τὴν ἄλογον ταύτην καὶ ἄτοπον καινοτομίαν ἐπιδει-

---

[1] Λέξις δυσανάγνωστος.

[2] Ἐν τῇ κάτω ᾤᾳ τοῦ φύλλου προσετέθησαν 4 γραμμαὶ συμπληρωτικαὶ τοῦ κειμένου, ἀλλ᾽ ἄγνωστον ποῦ ἀναφέρονται, ἐλλείποντος ἐν τῷ κειμένῳ τοῦ σχήματος, δι᾽ οὗ δηλοῦται ἡ προσθήκη, ἡ ἄλλως τε δυσανάγνωστος.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 17:54:29 EEST - 18.216.127.212

κνυμένη. Ἵνα τοίνυν ἀποδεκτὴ καὶ ἕτοιμος εὑρεθῇς τῷ νοητῷ νυμφίῳ καὶ τῷ νυμφῶνι καὶ τοῖς ἱεροῖς ἐκείνοις θαλάμοις ὅλην σεαυτὴν μετάθες ἐπὶ τῶν...[1] τὴν ψυχικὴν λαμπάδα φαιδρύνουσα καὶ ἀνάπτουσα καὶ τῆς διαβολικῆς χρωματουργίας καὶ συμπλάσεως ἀποστάσα, ἵνα καὶ τῆς αἰωνίου καταδίκης ἀπαλλαγεῖσα τῶν ἀκηράτων ἀξιωθῇς ἀγαθῶν καὶ τῆς ἀδιαδόχου βασιλείας καὶ τρυφῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ἀμήν: †

† Ο ΠΡ. ΛΕΟΝΤΟΠΟΛΕΩΣ ΣΩΦΡΟΝΙΟΣ ΕΥΣΤΡΑΤΙΑΔΗΣ

[1] Ἐν τῇ ᾤᾳ συμπληροῦται ἡ φράσις διὰ λέξεων δυσαναγνώστων καὶ ἀκαταλήπτων.

Institutional Repository - Library & Information Centre - University of Thessaly
20/04/2024 17:54:29 EEST - 18.216.127.212